Η ΟΔΟΣ

ἡ Ἑλληνικὴ γλῶσσα

δι᾽ εἰκόνων καὶ διηγήματων

CC0 2026 by Scott McQuinn and Sawyer Moranville

Illustrations by Isobel Farmer

Published by Lingua Deo Gloria Publishing
An imprint of Lingua Deo Gloria Ministries
Collegeville, PA 19426

This work is freely given. Lingua Deo Gloria Ministries waives all copyrights to this  book. All of this publication may be shared, translated, or copied freely without limitation and without permission for the glory of God and the joy of the world.

To learn more about this open license, vist https://copy.church/free/

Freely given
Public domain
copy.church/free

For the free PDF please visit LinguaDeoGloria.com

Library of Congress: Pending

Lingua Deo Gloria Publishing
ISBN: Pending

Scan the QR code below to access YouTube videos that will help you learn the vocabulary to this story.

For those on tablet or computer, you may access the videos through the following link:

https://www.youtube.com/playlist?list=PLXyzboh
BLjZ6uKBYXgEsVxB7ak8sHgJGr

# Κεφάλαιον Α´

(Vocab from Lessons 1-2 on YouTube)

## ἄνθρωποι



ὁ παῖς



ἡ παῖς



ὁ ἀνήρ



ἡ

## ζῷα



ὁ ἵππος



ὁ ὄνος



ὁ κύων



ὁ κάμηλος







Ὁ Ἰάκωβος παῖς ἐστιν. Καὶ ἡ Λυδία παῖς ἐστιν. Ὁ Σίμων ἀνήρ ἐστιν. Ἡ Μάρθα γυνή ἐστιν. Ὁ Σίμων ἡ Μάρθα ὁ Ἰάκωβος καὶ ἡ Λυδία ἄνθρωποί εἰσιν.




Ὁ Σίμων λέγει· Οὗτός ἐστιν ὄνος. Ὁ ὄνος ζῷόν ἐστιν. Ὁ Ἰάκωβος λέγει· Οὗτός ἐστιν κάμηλος. Ὁ κάμηλος ζῷόν ἐστιν.




Ἡ Μάρθα λέγει· Οὗτός ἐστιν ἵππος. Ὁ ἵππος ζῷόν ἐστιν. Ἡ Λυδία λέγει· Οὗτός ἐστιν κύων. Ὁ κύων ζῷόν ἐστιν.




Ὁ Ἰάκωβος λέγει· Χαῖρε!
Ἡ δὲ Λυδία λέγει· Χαῖρε!




Ἡ δὲ Λυδία λέγει· Τί σοι ὄνομα;




Ὁ δὲ Ἰάκωβος λέγει· Ἰάκωβος ὄνομά μοι.




Ὁ δὲ Ἰάκωβος λέγει· Τί σοι ὄνομα;
Ἡ δὲ Λυδία λέγει· Λυδία ὄνομά μοι.




Ἡ δὲ Μάρθα λέγει· Τί σοι ὄνομα;
Ὁ δὲ Σίμων λέγει· Σίμων ὄνομά μοι.




Ὁ δὲ Σίμων λέγει· Τί σοι ὄνομα;
Ἡ δὲ Μάρθα λέγει· Μάρθα ὄνομά μοι.

# ΕΡΩΤΗΜΑ




# ΑΠΟΚΡΙΣΕΙΣ









Ἡ δὲ Λυδία λέγει· Πῶς ἔχεις;




Ὁ δὲ Ἰάκωβος λέγει· Κακῶς ἔχω!




Ὁ δὲ Ἰάκωβος λέγει· Πῶς ἔχεις;
Ἡ δὲ Λυδία λέγει· Καλῶς ἔχω!






Ὁ πατὴρ ἔχει γυναῖκα, οἶκον, αὐλὴν, ἀγρὸν,
ἵππους, ὄνον, καὶ κάμηλον.




Ἡ μήτηρ ἔχει ἄνδρα, κρέας, ᾠὰ, ἄρτον, ὑδρίαν, καὶ ποτήριον.



Ὁ Ἰάκωβος ἔχει κύνα.


ἡ ὀροφή
ἡ θυρίς
ἡ θύρα
ὁ τοῖχος
τὸ ἔδαφος


ἡ καθέδρα
ἡ τράπεζα




Ὁ οἶκος ἔχει θύραν, θυρίδα, τοῖχον, ἔδαφος, ὀροφὴν, τράπεζαν, καὶ καθέδραν.

## Ὁ Ἰάκωβος . . .



κάθηται



ἀνίσταται



ἕστηκεν



περιπατεῖ



τρέχει




Ὁ Ἰάκωβος κάθηται ὁ δὲ πατὴρ λέγει· ἀνάστηθι!



Ὁ Ἰάκωβος ἀνίσταται.




Ὁ Ἰάκωβος ἕστηκεν ὁ δὲ πατὴρ λέγει· περιπάτει!



Ὁ Ἰάκωβος περιπατεῖ.




Ὁ πατὴρ λέγει· στῆθι! ὁ δὲ Ἰάκωβος ἕστηκεν.




Ὁ πατὴρ λέγει· κάθισον! ὁ δὲ Ἰάκωβος καθίζει.




Ὁ Ἰάκωβος κάθηται ἡ δὲ μήτηρ λέγει· ἀνάστηθι καὶ τρέχε!



Ὁ δὲ Ἰάκωβος ἀνίσταται καὶ τρέχει!



Ὁ Ἰάκωβος τρέχει καὶ τρέχει!

ΕΡΩΤΗΜΑΤΑ

1) Τί ἐστιν ὁ Ἰάκωβος;

α. ἀνήρ

β. παῖς

γ. γυνή

2) Πῶς ἔχει ὁ Ἰάκωβος;

α. καλῶς ἔχει

β. κακῶς ἔχει

3) Τί ἔχει ὁ πατήρ;

α. μητέρα

β. γυναῖκα

γ. ἄρτον

4) Τί ἔχει ἡ μήτηρ;

α. γυναῖκα

β. οἶκον

γ. ᾠά

5) Τί ἔχει ὁ Ἰάκωβος;

α. κύνα

β. ἵππους

γ. ἀγρόν

6) Τί ἐστιν ἡ μήτηρ;

α. ἀνήρ

β. παῖς

γ. γυνή

7) Ὁ πατὴρ λέγει· περιπάτει. Τί ποιεῖ ὁ Ἰάκωβος;

α. κάθηται

β. τρέχει

γ. περιπατεῖ

8) Ὁ πατὴρ λέγει· ἀνάστηθι. Τί ποιεῖ ὁ Ἰάκωβος;

α. ἀνίσταται

β. ἕστηκεν

γ. καθίζει

9) Ὁ πατὴρ λέγει· κάθισον. Τί ποιεῖ ὁ Ἰάκωβος;

α. ἀνίσταται

β. καθίζει

γ. τρέχει

# Κεφάλαιον Β´

(Vocab from Video Lessons 3–5 on YouTube)




## Σελίς Α᾽

ὁ πατὴρ κάθηται καὶ ἐσθίει ἄρτον. ὁ ἄρτος καλός ἐστιν. αὐτὸς ἐσθίει καλὸν ἄρτον. αὐτὸς αἵρει ἄλλον ἄρτον καὶ ἐσθίει αὐτόν.

## Σελίς Β᾽

καὶ ὁ Ἰάκωβος κάθηται. οὐκ ἔχει ἄρτον ἀλλ᾽ ᾠόν. καὶ τὸ ᾠὸν οὐ καλόν ἐστιν ἀλλὰ κακόν. ὁ Ἰάκωβος βλέπει αὐτὸ καὶ οὐκ ἐσθίει.

ὁ δὲ πατὴρ λέγει· «Ἰάκωβε, φάγε τὸ ᾠόν.»

ὁ δὲ Ἰάκωβος· «τὸ ᾠὸν κακόν ἐστιν!»

ὁ δὲ πατήρ· «φάγε τὸ κακὸν ᾠόν!» ὁ Ἰάκωβος ἐσθίει τὸ κακὸν ᾠὸν βραδέως. ὁ μὲν πατὴρ ἐσθίει καλὸν ἄρτον ὁ δὲ Ἰάκωβος ἐσθίει κακὸν ᾠόν.

ὁ ἄρτος καλός: τὸν καλὸν ἄρτον

αὐτόν: ἄλλον ἄρτον

οὐκ . . . ἀλλ᾽ (ἀλλά)

αὐτὸ: τὸ ᾠόν
βλέπει τὸ ᾠόν

καλός ↔ κακός

φάγε < ἐσθίω

Σελίς Γ᾽

κάθηται ↔ ἕστηκεν

αὐτὴ: ἡ μήτηρ

ἡ οἰκία: ὁ Ἰάκωβος καὶ ὁ πατήρ καὶ ἡ Λυδία

ἡ μήτηρ οὐ κάθηται ἀλλ᾽ ἕστηκεν. αὐτὴ ἔχει ὑδρίαν, ποτήρια, καὶ ἰχθὺν καὶ ἔρχεται πρὸς τὴν τράπεζαν. ὁ δὲ ἰχθὺς πίπτει ἐπὶ τὸ ἔδαφος. αὐτὴ βλέπει ἀλλ᾽ ἡ οἰκία οὐ βλέπει. αὐτὴ τίθησιν τὴν ὑδρίαν καὶ τὰ ποτήρια ἐπὶ τὴν τράπεζαν, αἴρει τὸν ἰχθὺν καὶ τίθησιν αὐτὸν ἐπὶ τὴν τράπεζαν. αὐτὴ δὲ καθίζει ἐπὶ καθέδραν.

Σελίς Δ᾽

οὐδὲ . . . οὐδὲ

οὐ + δέ

ἡ Λυδία οὐδὲ κάθηται οὐδὲ ἐσθίει ἀλλ᾽ ὀρχεῖται καὶ ἅλλεται. ἡ μήτηρ λέγει· «Λυδία, τί ποιεῖς; κάθισον καὶ φάγε τὸν ἰχθύν!» ἡ δὲ Λυδία λέγει· «ἀλλ᾽ ὁ ἰχθὺς κακός ἐστιν!» ἡ δὲ μήτηρ· «οὐκ ἐστιν κακὸς, ἀλλὰ καλός! φάγε αὐτόν!» ἡ Λυδία αἴρει τὸν ἰχθὺν ἀλλ᾽ οὐκ ἐσθίει αὐτόν.

Σελίς Ε᾽



ἐπιστρέφεται

ἡ μήτηρ ἀνίσταται καὶ περιπατεῖ πρὸς τὴν θύραν. ἡ δὲ Λυδία τίθησιν τὸν ἰχθὺν ἐπὶ τὸ ἔδαφος! καὶ ἰδοὺ ὁ κύων ἔρχεται ταχέως πρὸς τὸν ἰχθὺν καὶ ἐσθίει αὐτόν!

Σελίς F᾽

Ὁ δὲ Ἰάκωβος βλέπει αὐτήν, ἀλλ᾽ ἡ μήτηρ οὐ βλέπει. καὶ αὐτὸς τίθησιν τὸ κακὸν ᾠὸν ἐπὶ τὸ ἔδαφος. καὶ ἰδοὺ ὁ κύων ἔρχεται πρὸς τὸ κακὸν ᾠὸν ἀλλ᾽ οὐκ ἐσθίει αὐτό! ἡ δε μήτηρ ἐπιστρέφεται καὶ βλέπει τὸ κακὸν ᾠὸν καὶ Ἰάκωβον καὶ λέγει· Ἰάκωβε, τί ποιεῖς;


κακὸν τὸ ᾠόν
Ἰάκωβε, τί ποιεῖς;

ΕΡΩΤΗΜΑΤΑ

1) Τί ἐσθίει ὁ Ἰάκωβος;

α. ἄρτον καλόν

β. ᾠὸν κακόν

γ. ᾠὸν καλόν

δ. ἄρτον κακόν

2) Τί ἐσθίει ὁ Σίμων;

α. ἄρτον καλόν

β. ᾠὸν κακόν

γ. ᾠὸν καλόν

δ. ἄρτον κακόν

3) Τί ἔχει ἡ μήτηρ;

α. ᾠὸν, ποτήρια, καὶ κύνα

β. ὑδρίαν, ποτήρια, καὶ ἰχθὺν

γ. ᾠά, ἄρτον, καὶ ἰχθὺν

δ. ἄρτον κακόν καὶ ὑδρίαν

4) Τί ποιεῖ ἡ Λυδία;

α. ἐσθίει ᾠὸν καλόν

β. ἐπιστρέφεται

γ. ὀρχεῖται καὶ ἅλλεται

δ. πίπτει ἐπὶ τὸ ἔδαφος

5) Τί τίθησιν ἡ Λυδία ἐπὶ τὸ ἔδαφος

α. τὸν ἰχθὺν

β. τὸ ᾠὸν

γ. τὴν ὑδρίαν

δ. τὸ κρέας

6) Τί τίθησιν ὁ Ἰάκωβος ἐπὶ τὸ ἔδαφος

α. ποτήριον

β. ἄρτον κακόν

γ. τὸ ᾠὸν

δ. τὸ κρέας

# Κεφάλαιον Γ΄

(Vocab from Video Lesson 6 on YouTube)

ὁ μὲν πατὴρ περιπατεῖ ἐν τῷ ἀγρῷ ἡ δὲ μήτηρ ἕστηκεν ἐν τῷ οἴκῳ. ὁ Ἰάκωβος κάθηται καὶ ἡ Λυδία ὀρχεῖται ἐν τῇ αὐλῇ. καὶ ὁ ὄνος καὶ ὁ κύων ἐν τῇ αὐλῇ εἰσιν. ὁ κάμηλος οὐκ ἐστιν ἐν τῇ αὐλῇ ἀλλ᾽ ἐν τῷ ἀγρῷ. καὶ οἱ ἵπποι ἐν τῷ ἀγρῷ εἰσιν καὶ αὐτοὶ ἐσθίουσιν. ὁ πατὴρ περιπατεῖ πρὸς αὐτούς.

αὐτοὶ: οἱ ἵπποι

αὐτούς: τοὺς ἵππους

ὁ Ἰάκωβος αἴρει λίθον μικρὸν ἐν τῇ αὐλῇ καὶ βάλλει αὐτόν εἰς τὸν οὐρανὸν ἀλλ᾽ ὁ λίθος πίπτει ἐπὶ τὴν Λυδίαν! ὁ Ἰάκωβος τρέχει πρὸς αὐτὴν καὶ λέγει αὐτῇ· «ἔχεις καλῶς;» ἡ δὲ Λυδία λέγει· «κακὸς παῖς εἶ! διὰ τί βάλλεις λίθον ἐπ᾽ ἐμέ;» αὐτὴ στρέφεται πρὸς τὸν οἶκον καὶ κράζει τῇ μητρί· «μῆτερ, μῆτερ, ὁ Ἰάκωβος βάλλει λίθους ἐπ᾽ ἐμέ!» αὐτὴ δὲ πίπτει ἐπὶ τὸ ἔδαφος καὶ κλαίει. ἡ δὲ μήτηρ ἔρχεται ταχέως πρὸς τὴν Λυδίαν καὶ βλέπει αὐτήν. αὐτὴ δὲ λέγει τῷ Ἰακώβῳ· «Ἰάκωβε! τί ποιεῖς;»

πρὸς αὐτὴν: πρὸς τὴν Λυδίαν

λέγει αὐτῇ
λέγει τῇ Λυδίᾳ

ἐλθὲ! < ἔρχεται

ἡ δὲ μήτηρ λέγει τῇ Λυδίᾳ· «ἀνάστηθι καὶ ἐλθὲ σὺν ἐμοὶ εἰς τὸν οἶκον.» ἡ δὲ Λυδία ἀνίσταται καὶ ἔρχεται σὺν αὐτῇ εἰς τὸν οἶκον. ἐν δὲ τῷ οἴκῳ ἡ Μάρθα λέγει τῇ Λυδίᾳ· «κάθισον ἐπὶ τὴν καθέδραν.» ἡ δὲ Λυδία καθίζει ἐπ᾽ αὐτήν. ἡ δὲ μήτηρ δίδωσιν ὕδωρ τῇ Λυδίᾳ καὶ λέγει· «πίε ὕδωρ». αὐτὴ δὲ πίνει τὸ ὕδωρ ἀλλ᾽ ἔτι κλαίει. ἡ Μάρθα πορεύεται εἰς τὴν αὐλήν καὶ λέγει

σὺν αὐτῇ
σὺν τῇ μητρί

κάθισον! < καθίζει

πίε! < πίνει

τῷ Ἰακώβῳ· «κακὸς παῖς εἶ. διὰ τί βάλλεις λίθους μεγάλους ἐπὶ τὴν Λυδίαν;» αὐτὸς λέγει· «ἀλλ᾽ οὐ βάλλω λίθους μεγάλους ἐπ᾽ αὐτήν!»

βλέπει τὸν ὄνον ἐν τῇ ὁδῷ

βλέπει ὅτι ...ὁ ὄνος ἐν τῇ ὁδῷ ἐστιν

τρέχε < τρέχει

στῆθι < ἵσταται

τὰ δεξιὰ ↔ τὰ ἀριστερά

ἡ δὲ Λυδία ἔρχεται εἰς τὴν αὐλὴν καὶ βλέπει ὅτι ὁ ὄνος ἐν τῇ ὁδῷ ἐστιν καὶ κράζει· «μῆτερ! μῆτερ! ὁ ὄνος ἐν τῇ ὁδῷ ἐστιν!» ἡ δὲ μήτηρ βλέπει ὅτι ὁ ὄνος οὐκ ἐν τῇ αὐλῇ ἐστιν ἀλλὰ τρέχει ἐν τῇ ὁδῷ. αὐτὴ λέγει τῷ Ἰακώβῳ· «Ἰάκωβε, τρέχε ταχέως πρὸς τὸν ὄνον!» ὁ δὲ Ἰάκωβος τρέχει ταχέως ἐν τῇ ὁδῷ πρὸς τὸν ὄνον καὶ ὁ κύων τρέχει σὺν αὐτῷ. ὁ Ἰάκωβος ἐπαίρει τὰς χεῖρας καὶ κράζει τῷ ὄνῳ· «στῆθι! στῆθι!» ὁ δὲ ὄνος οὐχ ἵσταται ἀλλ᾽ ἔτι τρέχει.

ὁ ὄνος ἔρχεται εἰς τὸν ἀγρὸν καὶ στρέφεται ταχέως εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερά. ὁ δὲ κάμηλος βλέπει ὅτι ὁ ὄνος, ὁ Ἰάκωβος, καὶ ὁ κύων τρέχουσιν ἐν τῷ ἀγρῷ. καὶ αὐτὸς ἔρχεται βραδέως πρὸς τὸν οἶκον. ὁ δὲ ὄνος πορεύεται πρὸς τὸν ποταμὸν καὶ ὁ Ἰάκωβος καὶ ὁ κύων τρέχουσιν ταχέως πρὸς αὐτόν.

εἰσ-έρχεται: εἰς τὸ ὕδωρ

ὁ δὲ ὄνος ἵσταται ἐν τῷ ποταμῷ καὶ πίνει ὕδωρ. καὶ ὁ Ἰάκωβος ἔρχεται πρὸς τὸν ὄνον ἀλλ᾽ οὐκ εἰσέρχεται εἰς τὸ ὕδωρ. αὐτὸς δὲ λέγει τῷ ὄνῳ· «ὄνος κακὸς εἶ. διὰ τὶ τρέχεις πρὸς τὸν ποταμόν; ἐλθέ!» ὁ δὲ ὄνος οὐκ

ἔρχεται ἀλλ᾽ ἔτι ἕστηκεν ἐν τῷ ποταμῷ. εἰσέρχεται δὲ ὁ Ἰάκωβος βραδέως εἰς τὸν ποταμὸν πρὸς τὸν ὄνον καὶ λέγει αὐτῷ· «ἐλθέ!» ἀλλ᾽ ὁ ὄνος ἕστηκεν ἔτι. τίθησιν δὲ ὁ Ἰάκωβος τὰς χεῖρας ἐπὶ τὸν ὄνον καὶ λέγει πάλιν· «ἐλθέ!» καὶ ἰδοὺ ὁ ὄνος ἅλλεται ἐπ᾽ αὐτὸν καὶ ὁ Ἰάκωβος πίπτει εἰς τὸ ὕδωρ! αὐτὸς δὲ ἀνίσταται καὶ κράζει τῷ ὄνῳ· «τί ποιεῖς; ὄνος κακὸς εἶ!»

ὁ δὲ πατὴρ βλέπει τὸν Ἰάκωβον ἐν τῷ ποταμῷ καὶ ἔρχεται πρὸς αὐτὸν καὶ λέγει αὐτῷ· «τί ποιεῖς ἐν τῷ ὕδατι;» ὁ δὲ Ἰάκωβος λέγει· «ὁ ὄνος κακὸς ἐστιν καὶ οὐκ ἔρχεται.» ὁ δὲ πατὴρ βλέπει πρὸς τὸν ὄνον καὶ λέγει αὐτῷ· «ἐλθέ!» καὶ ὁ ὄνος ἔρχεται ταχέως πρὸς τὸν πατέρα. ὁ πατὴρ λέγει τῷ ὄνῳ· «ὄνος καλὸς εἶ.» καὶ αὐτὸς γελᾷ. ὁ δὲ Ἰάκωβος οὐ γελᾷ.

αὐτοὶ βλέπουσιν πρὸς τὸν οἶκον. καὶ ἰδοὺ ἡ μήτηρ τρέχει ἐν τῇ ὁδῷ καὶ ἐπαίρει τὰς χεῖρας καὶ κράζει· «Σίμων! Ἰάκωβε! ὁ κάμηλος ἐν τῷ οἴκῳ ἐστίν καὶ ἐσθίει τὰ βρώματα!»

ΕΡΩΤΗΜΑΤΑ

1) τὶ βάλλει ὁ Ἰάκωβος εἰς τὸν οὐρανὸν;

α. λίθον μέγαν

β. ᾠὸν μέγα

γ. λίθον μικρόν

δ. ποτήριον μικρόν

2) δία τὶ ἡ Λυδία πίπτει ἐπὶ τὸ ἔδαφος καὶ κλαίει;

α. ὅτι ἐσθίει ᾠὸν κακόν

β. ὅτι ἐσθίει ἰχθὺν κακόν

γ. ὅτι λίθος πίπτει ἐπ᾽ ἀυτήν

δ. ὅτι ἀυτὴ πίπτει εἰς τὸ ὕδωρ

3) Τί τρέχει εἰς τὸν ποταμὸν;

α. ὁ ἵππος

β. ὁ πατήρ

γ. ἡ Λυδία

δ. ὁ ὄνος

4) τὶ δίδωσιν ἡ μήτηρ τῇ Λυδίᾳ;

α. κύνα

β. κρέας

γ. ὕδωρ

δ. λίθον

5) τίνι ὁ Ἰάκωβος κράζει;

α. τῷ ὄνῳ

β. τῷ ἵππῳ

γ. τῇ Λυδίᾳ

δ. τῷ καμήλῳ

6) Τί ποιεῖ ὁ κάμηλος ἐν τῷ οἴκῳ;

α. ὀρχεῖται

β. ἅλλεται

γ. πίνει ὕδωρ

δ. ἐσθίει τᾶ βρώματα

7) Τί ἔστιν βρώματα;

α. ὄνος καὶ κάμηλος

β. κρέας καὶ ᾠά καὶ ἄρτος καὶ ἰχθὺς

γ. ὕδωρ

δ. λίθος μέγας

# Κεφάλαιον Δ΄

ὁ πατήρ, ἡ μήτηρ, ὁ Ἰάκωβος, καὶ ἡ Λυδία κάθηνται ἐν τῷ οἴκῳ καὶ λαλοῦσιν ἀλλήλοις. ὁ Σίμων ἐσθίει μῆλον καὶ ἐπαίρει αὐτὸ καὶ λέγει τῇ οἰκίᾳ· «τίς ποιεῖ τὰ μῆλα;»

αὐτὸ: μῆλον

ὁ δὲ Ἰάκωβος λέγει· «ὁ θεὸς ποιεῖ αὐτά!»

ὁ δὲ πατήρ· «ναί. καὶ τί ἄλλο ποιεῖ ὁ θεός;»

ναί ↔ οὐ

ἡ δὲ Λυδία λέγει· «τὰ ζῷα. τοὺς ἀνθρώπους. τὸν οὐρανόν. τὴν γῆν. τὴν θάλασσαν. τὰ ἄνθη…»

(ὁ θεὸς ποιεῖ) τὰ ζῷα. τοὺς ἀνθρώπους. τὸν οὐρανόν. τὴν γῆν. τὴν θάλασσαν. τὰ ἄνθη.

ὁ δὲ πατὴρ γελᾷ καὶ λέγει· «καλῶς λέγεις, Λυδία. ὁ θεὸς ποιεῖ τὰ πάντα. καὶ δίδωσιν τοῖς ἀνθρώποις βρώματα. αὐτὸς θεὸς καλός ἐστιν.»

ἡ δὲ Λυδία λέγει· «ἀλλὰ πάτερ, ποῦ ἐστιν τὰ βρώματα; ἐν τῷ οὐρανῷ σὺν τῷ θεῷ ἐστιν;

ἡ δὲ μήτηρ γελᾷ καὶ λέγει· «οὐχὶ Λυδία. τὰ βρώματα ἐν τοῖς ἀγροῖς καὶ ἐν τοῖς δένδροις ἐστίν.»

αὐτὴ δὲ ἔρχεται πρὸς τοὺς παῖδας καὶ δίδωσιν αὐτοῖς σπυρίδας καὶ λέγει· «νῦν δὲ, ἀνάστητε καὶ ἔλθετε σὺν ἐμοὶ εἰς τὸν ἀγρόν.» αὐτὴ δὲ αἴρει σπυρίδα καὶ πορεύεται πρὸς τὰ δένδρα, καὶ οἱ παῖδες ἀνίστανται καὶ αἴρουσιν τὰς σπυρίδας ταῖς χερσὶν καὶ ἀκολουθοῦσιν αὐτῇ εἰς τὸν ἀγρόν. καὶ ὁ κύων ἀκολουθεῖ αὐτοῖς. ὁ δὲ πατὴρ ἀνίσταται καὶ λέγει· «ἐγὼ πορεύομαι πρὸς τοὺς ἵππους καὶ δίδωμι αὐτοῖς βρώματα.»

ταῖς χερσὶν: (ἐν) ταῖς χερσὶν

ἀκολουθοῦσιν + *DAT*
ἀκολουθοῦσιν αὐτῇ
ἀκολουθεῖ αὐτοῖς

ἐν δὲ τῷ ἀγρῷ ἐστιν δένδρα πολλά. ἐν δὲ τοῖς δένδροις ἐστὶν μῆλα πολλά. ἀλλὰ μῆλα πολλὰ καὶ πίπτει ἐπὶ τὴν γῆν. ὁ Ἰάκωβος βλέπει τὰ μῆλα ὑπὸ τὸ δένδρον καὶ λέγει τῇ μητρί· «μῆτερ ἰδοὺ πολλὰ μῆλα πίπτει ἐπὶ τὴν γῆν.»

πορεύθητε
πορεύονται

ἡ δὲ μήτηρ ἔρχεται πρὸς τὸ δένδρον καὶ αἴρει μῆλον καὶ λέγει τοῖς παισίν· «πορεύθητε πρὸς ἄλλο δένδρον καὶ ἄρατε μῆλα καὶ θέτε αὐτὰ εἰς τὰς σπυρίδας.»

δίδωμι
δίδως
δίδωσιν

αὐτοὶ δὲ βλέπουσιν δένδρον μέγα καὶ πορεύονται πρὸς αὐτό. ἀλλ᾽ οὐκ ἐστιν μῆλα ἐν τῷ μεγάλῳ δένδρῳ. ὁ δὲ Ἰάκωβος λέγει τῷ δένδρῳ· «δένδρον κακὸν εἶ ὅτι οὐκ ἔχεις μῆλα.»

θέτε
τιθέασιν

πορεύονται δὲ πρὸς ἄλλο δένδρον. δένδρον μικρόν ἐστιν. ἀλλ᾽ οὐ βλέπουσιν μῆλα ἐν τῷ μικρῷ δένδρῳ. ὁ δὲ Ἰάκωβος λέγει πάλιν τῷ δένδρῳ· «καὶ σὺ δενδρὸν κακὸν εἶ. διὰ τί οὐ δίδως μῆλα;» αὐτὸς δὲ τύπτει τὸ δένδρον τῇ χειρί! καὶ ἰδοὺ μῆλον πίπτει ἐπὶ τὴν γῆν. ὁ Ἰάκωβος χαίρει καὶ τρέχει πρὸς αὐτό, αἴρει, καὶ ἐσθίει. ἀλλὰ τὸ μῆλον κακόν ἐστιν! ὁ δὲ Ἰάκωβος κράζει. ἡ Λυδία γελᾷ. ὁ δὲ Ἰάκωβος βάλλει τὸ μῆλον τοῖς ἵπποις ἐν τῷ ἀγρῷ. οἱ ἵπποι βλέπουσιν αὐτὸ ἀλλ᾽ οὐκ ἐσθίουσιν ὅτι κακόν ἐστιν.

αὐτὸς δὲ τύπτει τὸ δένδρον τῇ χειρί

ὁ δὲ Ἰάκωβος κράζει (illustration = spits it out)

αὐτοὶ δὲ πορεύονται πρὸς ἄλλο δένδρον–οὐδὲ μέγα οὐδὲ μικρόν–καὶ βλέπουσιν μῆλα πολλὰ καὶ ἐν τῷ δένδρῳ καὶ ὑπὸ τὸ δένδρον. καὶ τὰ μῆλα καλά ἐστιν. ὁ δὲ Ἰάκωβος λέγει τῷ δένδρῳ· «δένδρον καλὸν εἶ ὅτι δίδως μῆλα πόλλα καὶ καλά.» αὐτοὶ δὲ αἴρουσιν πάντα τὰ μῆλα καὶ τιθέασιν αὐτὰ εἰς τὰς σπυρίδας.

ὁ δὲ Ἰάκωβος βλέπει ἄλλα μῆλα πολλὰ ἐν τῷ δένδρῳ. αἴρει δὲ ξύλον μέγα, καὶ τύπτει τὸ δένδρον τῷ ξύλῳ. καὶ ἰδοὺ μῆλον μέγα πίπτει ἐπὶ τὴν Λυδίαν! ἡ δὲ Λυδία κράζει καὶ στρέφεται πρὸς τὸν Ἰάκωβον καὶ λέγει· «διὰ τί βάλλεις μῆλον μέγα ἐπ᾽ ἐμέ;» αὐτὴ δὲ στρέφεται πρὸς τὴν μητέρα καὶ κράζει· «μῆτερ! μῆτερ! ὁ Ἰάκωβος βάλλει μῆλα ἐπ᾽ ἐμέ!»

ἡ δὲ μήτηρ ἔρχεται ταχέως πρὸς τὸν Ἰάκωβον καὶ λέγει αὐτῷ· «τί ποιεῖς Ἰάκωβε; διὰ τί βάλλεις μῆλα μεγάλα ἐπὶ τὴν Λυδίαν πάλιν;» ἡ δὲ μήτηρ βλέπει ξῦλον καὶ αἴρει αὐτὸ καὶ τύπτει τὸν Ἰάκωβον τῷ ξύλῳ καὶ λέγει αὐτῷ· «παῖς κακὸς εἶ.»

ὁ δὲ Ἰάκωβος λέγει αὐτῇ· «μῆτερ, οὐ βάλλω λίθους μεγάλους οὐδὲ μῆλα μεγάλα ἐπ᾽ αὐτήν! τὰ μῆλα πίπτει ἐπὶ τὴν γῆν.»
ἡ δὲ μήτηρ λέγει αὐτῷ· «θὲς τὰ μῆλα εἰς τὴν σπυρίδα.» αὐτὸς δὲ αἴρει μῆλα πολλὰ καὶ τίθησιν αὐτὰ εἰς τὴν

σπυρίδα. ἡ δὲ Λυδία αἴρει μῆλον μέγα ἀλλ᾽ οὐ τίθησιν αὐτὸ εἰς τὴν σπυρίδα ἀλλ᾽ ἐσθίει αὐτό. ὁ Ἰάκωβος βλέπει αὐτήν.

ἄλλο μῆλον πίπτει ἐπὶ τὴν γῆν. ὁ δὲ Ἰάκωβος αἴρει αὐτὸ καὶ ἐσθίει. ἡ δὲ μήτηρ ἐπιστρέφεται καὶ βλέπει αὐτόν καὶ λέγει· «Ἰάκωβε, διὰ τί ἐσθίεις πάντα τὰ μῆλα;»

ὁ δὲ Ἰάκωβος λέγει· «ἀλλὰ καὶ ἡ Λυδία ἐσθίει αὐτά.» αὐτοὶ δὲ ἐπιστρέφονται καὶ ἰδοὺ ἡ Λυδία οὐκ ἐσθίει μῆλον ἀλλὰ τίθησιν μῆλα εἰς τὴν σπυρίδα.

ἡ δὲ μήτηρ λέγει τῷ Ἰακώβῳ· «Ἰάκωβε, παῖς κακὸς εἶ.»

**ΕΡΩΤΉΜΑΤΑ**

1. τίνες κάθηνται ἐν τῷ οἴκῳ;
   - α) ὁ πατήρ, ἡ μήτηρ, ὁ Ἰάκωβος, ἡ Λυδία
   - β) ὁ κύων καὶ οἱ ἵπποι
   - γ) ὁ Σίμων
   - δ) οἱ ἵπποι καὶ ὁ πατήρ

2. τί ἐσθίει ὁ Σίμων;
   - α) ἄρτον
   - β) μῆλον
   - γ) ἰχθύν
   - δ) βρῶμα

3. τίς λέγει «ὁ θεὸς ποιεῖ τὰ μῆλα»;
   - α) ἡ Λυδία
   - β) ὁ Ἰάκωβος
   - γ) ἡ μήτηρ
   - δ) ὁ πατήρ

4. τί ἄλλο λέγει ἡ Λυδία ὅτι ποιεῖ ὁ θεός;
   - α) τὰ ζῷα καὶ τὸν οὐρανόν
   - β) τὰς σπυρίδας
   - γ) τοὺς ἵππους μόνον
   - δ) τὰ δένδρα μόνον

5. ποῦ ἐστιν τὰ βρώματα, κατὰ τὴν μητέρα;

α) ἐν τῷ οὐρανῷ

β) ἐν τοῖς ἀγροῖς καὶ ἐν τοῖς δένδροις

γ) ἐν τῷ οἴκῳ

δ) ἐν τῇ θαλάσσῃ

6. τί δίδωσιν ἡ μήτηρ τοῖς παισίν;

α) σπυρίδας

β) ξύλα

γ) ἵππους

δ) μῆλα

7. ποῖ πορεύονται οἱ παῖδες;

α) εἰς τὸν οἶκον

β) εἰς τὸν ἀγρόν

γ) εἰς τὴν θάλασσαν

δ) εἰς τὸν οὐρανόν

8. τίς ἀκολουθεῖ τοῖς παισίν εἰς τὸν ἀγρόν;

α) ὁ κύων

β) ὁ ἵππος

γ) ὁ πατήρ

δ) ὁ Σίμων

9. ποῖ πορεύεται ὁ πατήρ;

α) πρὸς τὰ δένδρα

β) πρὸς τοὺς ἵππους

γ) πρὸς τὴν θάλασσαν

δ) πρὸς τὸν οἶκον

10. τί βλέπει ὁ Ἰάκωβος ὑπὸ τὸ δένδρον;

α) πολλὰ μῆλα

β) τὸν κύνα

γ) τὴν σπυρίδα

δ) τὸν ἵππον

11. ἔχει μῆλα τὸ μέγα δένδρον;

α) ναί, πολλά

β) οὔ, οὐκ ἔχει μῆλα

γ) ἔχει ὀλίγα μῆλα

δ) ἔχει μῆλα κακά

12. τί λέγει ὁ Ἰάκωβος τῷ μεγάλῳ δένδρῳ;

α) «δένδρον καλὸν εἶ»

β) «δένδρον κακὸν εἶ»

γ) «δένδρον μικρὸν εἶ»

δ) «δένδρον καλὸν εἶ ὅτι δίδως μῆλα»

13. τί ποιεῖ ὁ Ἰάκωβος τῷ μικρῷ δένδρῳ;

α) τύπτει αὐτὸ τῇ χειρί

β) φέρει αὐτὸ εἰς τὸν οἶκον

γ) δίδωσιν αὐτῷ βρώματα

δ) λέγει «καλὸν εἶ»

14. μετὰ τοῦτο, τί πίπτει ἐπὶ τὴν γῆν;

α) λίθος

β) μῆλον

γ) ξύλον

δ) σπυρίς

15. τὸ μῆλον καλόν ἐστιν ἢ κακόν;

α) καλόν

β) κακόν

γ) οὐκ ἔστιν μῆλον

δ) μέγα καὶ καλόν

16. τί ποιεῖ ὁ Ἰάκωβος τῷ κακῷ μήλῳ;

α) ἐσθίει αὐτὸ πάλιν

β) βάλλει αὐτὸ τοῖς ἵπποις

γ) τίθησιν αὐτὸ εἰς τὴν σπυρίδα

δ) δίδωσιν αὐτὸ τῇ Λυδίᾳ

17. ἐσθίουσιν οἱ ἵπποι τὸ μῆλον;

α) ναί, ἐσθίουσιν

β) οὔ, οὐκ ἐσθίουσιν

γ) οἱ ἵπποι οὐ βλέπουσιν αὐτό

δ) ὁ κύων ἐσθίει αὐτό

18. πῶς ἐστιν τὰ μῆλα ἐν τῷ τρίτῳ δένδρῳ;

α) κακά

β) πολλὰ καὶ καλά

γ) μικρά

δ) ὀλίγα καὶ κακά

19. τί αἴρει ὁ Ἰάκωβος διὰ νὰ τύπτῃ τὸ δένδρον πάλιν;

α) λίθον

β) ξύλον μέγα

γ) σπυρίδα

δ) μῆλον

20. ἐπὶ τίνα πίπτει τὸ μέγα μῆλον;

α) ἐπὶ τὸν Ἰάκωβον

β) ἐπὶ τὴν Λυδίαν

γ) ἐπὶ τὸν κύνα

δ) ἐπὶ τὴν μητέρα

21. τί ποιεῖ ἡ Λυδία ὅτε τὸ μῆλον πίπτει ἐπ᾽ αὐτήν;

α) γελᾷ

β) κράζει □

γ) τρέχει πρὸς τὸν ἀγρόν

δ) ἐσθίει τὸ μῆλον

22. τί ποιεῖ ἡ μήτηρ τῷ Ἰακώβῳ;

α) δίδωσιν αὐτῷ μῆλον

β) τύπτει αὐτὸν τῷ ξύλῳ

γ) φέρει αὐτὸν εἰς τὸν οἶκον

δ) λέγει «παῖς καλὸς εἶ»

23. τί λέγει ἡ μήτηρ τῷ Ἰακώβῳ;

α) «παῖς καλὸς εἶ»

β) «παῖς κακὸς εἶ»

γ) «παῖς μικρὸς εἶ»

δ) «παῖς μέγας εἶ»

24. τίθησιν ἡ Λυδία τὸ μέγα μῆλον εἰς τὴν σπυρίδα;

α) ναί, τίθησιν αὐτό

β) οὔ, ἐσθίει αὐτό

γ) βάλλει αὐτὸ τῷ Ἰακώβῳ

δ) δίδωσιν αὐτὸ τῷ κύνι

25. τίς ἐσθίει πάντα τὰ μῆλα ἐπὶ τέλει;

α) ἡ Λυδία

β) ὁ Ἰάκωβος

γ) ὁ κύων

δ) ὁ πατήρ

**ΑΛΗΘΕΣ Η ΨΕΥΔΟΣ; (TRUE OR FALSE)**

1. ὁ Σίμων ἐσθίει ἄρτον.
2. ἡ μήτηρ δίδωσιν τοῖς παισὶ σπυρίδας.
3. τὸ μέγα δένδρον ἔχει μῆλα πολλά.
4. ὁ Ἰάκωβος βάλλει τὸ κακὸν μῆλον τοῖς ἵπποις.
5. ἡ Λυδία τίθησιν τὸ μέγα μῆλον εἰς τὴν σπυρίδα.